βόντες ἕκαστος τὰ σκεύη τὰ πολεμικὰ αὐτῶν καὶ ἀνακαύσαντες πυ-
ρὰς ἐπὶ τοὺς πύργους αὐτῶν ἔμενον φυλάσσοντες ὅλην τὴν νύκτα
6 ἐκείνην. [6]τῇ δὲ ἡμέρᾳ τῇ δευτέρᾳ ἐξήγαγεν Ολοφέρνης πᾶσαν τὴν
ἵππον αὐτοῦ κατὰ πρόσωπον τῶν υἱῶν Ισραηλ, οἳ ἦσαν ἐν Βαιτυ-
7 λουα, [7]καὶ ἐπεσκέψατο τὰς ἀναβάσεις τῆς πόλεως αὐτῶν καὶ τὰς
πηγὰς τῶν ὑδάτων ἐφώδευσεν καὶ προκατελάβετο αὐτὰς καὶ ἐπ-
έστησεν αὐταῖς παρεμβολὰς ἀνδρῶν πολεμιστῶν, καὶ αὐτὸς ἀνέζευ-
8 ξεν εἰς τὸν λαὸν αὐτοῦ. — [8]καὶ προσελθόντες αὐτῷ πάντες ἄρ-
χοντες υἱῶν Ησαυ καὶ πάντες οἱ ἡγούμενοι τοῦ λαοῦ Μωαβ καὶ
9 οἱ στρατηγοὶ τῆς παραλίας εἶπαν [9]Ἀκουσάτω δὴ λόγον ὁ δεσπότης
10 ἡμῶν, ἵνα μὴ γένηται θραῦσμα ἐν τῇ δυνάμει σου. [10]ὁ γὰρ λαὸς
οὗτος τῶν υἱῶν Ισραηλ οὐ πέποιθαν ἐπὶ τοῖς δόρασιν αὐτῶν, ἀλλ᾽
ἐπὶ τοῖς ὕψεσι τῶν ὀρέων, ἐν οἷς αὐτοὶ ἐνοικοῦσιν ἐν αὐτοῖς· οὐ
γάρ ἐστιν εὐχερὲς προσβῆναι ταῖς κορυφαῖς τῶν ὀρέων αὐτῶν.
11 [11]καὶ νῦν, δέσποτα, μὴ πολέμει πρὸς αὐτοὺς καθὼς γίνεται πόλε-
12 μος παρατάξεως, καὶ οὐ πεσεῖται ἐκ τοῦ λαοῦ σου ἀνὴρ εἷς. [12]ἀνά-
μεινον ἐπὶ τῆς παρεμβολῆς σου διαφυλάσσων πάντα ἄνδρα ἐκ τῆς
δυνάμεώς σου, καὶ ἐπικρατησάτωσαν οἱ παῖδές σου τῆς πηγῆς τοῦ
13 ὕδατος, ἣ ἐκπορεύεται ἐκ τῆς ῥίζης τοῦ ὄρους, [13]διότι ἐκεῖθεν ὑ-
δρεύονται πάντες οἱ κατοικοῦντες Βαιτυλουα, καὶ ἀνελεῖ αὐτοὺς ἡ
δίψα, καὶ ἐκδώσουσι τὴν πόλιν αὐτῶν· καὶ ἡμεῖς καὶ ὁ λαὸς ἡμῶν
ἀναβησόμεθα ἐπὶ τὰς πλησίον κορυφὰς τῶν ὀρέων καὶ παρεμβα-
λοῦμεν ἐπ᾽ αὐταῖς εἰς προφυλακὴν τοῦ μὴ ἐξελθεῖν ἐκ τῆς πόλεως
14 ἄνδρα ἕνα. [14]καὶ τακήσονται ἐν τῷ λιμῷ αὐτοὶ καὶ αἱ γυναῖκες αὐ-
τῶν καὶ τὰ τέκνα αὐτῶν, καὶ πρὶν ἐλθεῖν τὴν ῥομφαίαν ἐπ᾽ αὐτοὺς
15 καταστρωθήσονται ἐν ταῖς πλατείαις τῆς οἰκήσεως αὐτῶν. [15]καὶ
ἀνταποδώσεις αὐτοῖς ἀνταπόδομα πονηρὸν ἀνθ᾽ ὧν ἐστασίασαν καὶ
16 οὐκ ἀπήντησαν τῷ προσώπῳ σου ἐν εἰρήνῃ. — [16]καὶ ἤρεσαν οἱ
λόγοι αὐτῶν ἐνώπιον Ολοφέρνου καὶ ἐνώπιον πάντων τῶν θερα-
17 πόντων αὐτοῦ, καὶ συνέταξε ποιεῖν καθὰ ἐλάλησαν. [17]καὶ ἀπῆρεν
παρεμβολὴ υἱῶν Αμμων καὶ μετ᾽ αὐτῶν χιλιάδες πέντε υἱῶν Ασ-
σουρ καὶ παρενέβαλον ἐν τῷ αὐλῶνι καὶ προκατελάβοντο τὰ ὕδατα
18 καὶ τὰς πηγὰς τῶν ὑδάτων τῶν υἱῶν Ισραηλ. [18]καὶ ἀνέβησαν οἱ
υἱοὶ Ησαυ καὶ οἱ υἱοὶ Αμμων καὶ παρενέβαλον ἐν τῇ ὀρεινῇ ἀπ-

5 τα πολ. αυτων] τ. π. αυτου S*†, αυτου τ. π. *L*† | και $2^0$ — αυτων $2^0$ > S*† | εκεινην > S† || 6 των > S† | οι — fin. > S*† | εν] εκ ASs || 7 υδατων] + αυτων A | παρεμβ. ανδρων πολ.] ανδρας πολεμιστας S† || 8 της > S† || 10 ορεων $1^0$] + αυτων B | ενοικουσιν] κατοικ. A: cf. 13 || 11 προς αυτους] μετ αυτων S† || 13 διοτι] οτι S 58 *L*† | κατοικουντες] ενοικ. S†: cf. 10 | επ αυτας S†, επ αυτους *L*† | προφυλ.] pr. την S† || 15 ουκ απηντ.] ουχ υπ. A || 16 αυτων] -του A† | ολοφερνους S†: item S† in 2 6 16 19, S*† in 15 11, sed in 5 22 6 17 10 13. 17. 18 etc. etiam S -νου || 17 απηραν παρεμβολην A(†) | προκατελαβον S†